www.tezaurliturgic.ro

ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΜΑΡΚΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΕΦΕΣΟΥ ΤΟΥ ΕΥΓΕΝΙΚΟΥ

Ῥ ΠΡΟΣΕΤΕΘΗ ΚΑΙ Ο ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΤΟΥ ΑΓΙΟΥ

ΜΕΤΑ ΒΙΟΓΡΑΦΙΚΟΥ ΣΗΜΕΙΩΜΑΤΟΣ

ΠΟΙΗΘΕΙΣΑ ΕΝ ΑΓΙΩ ΟΡΕΙ

ΥΠΟ

ΜΟΝΑΧΟΥ ΓΕΡΑΣΙΜΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΚΔΙΔΕΤΑΙ : ΕΠΙΜΕΛΕΙΑ ΚΑΙ ΔΑΠΑΝΗ

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ ΛΑΖΑΡΙΔΟΥ

ΑΘΗΝΑΙ 1964

www.tezaurliturgic.ro

## ΑΚΟΛΟΥΘΙΑ

τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν

# ΜΑΡΚΟΥ

Ἀρχιεπισκόπου Ἐφέσου τοῦ Εὐγενικοῦ

Ψαλλομένη τῇ ιθ΄ Ἰανουαρίου ἐπὶ τῇ μνήμῃ αὐτοῦ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.*

*Ἦχος β΄.* Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἀπὸ ῥίζης εὐγενοῦς, ὡς περιφανὴς ἔφυς κλάδος, Μᾶρκε μακάριε, τότε πλήρης γέγονας καρπῶν τοῦ Πνεύματος, ἀρετῶν τελειότητι, καὶ πλούτῳ σοφίας, καὶ λόγῳ τῆς χάριτος, καλλωπιζόμενος. Ὅθεν ποιμενάρχης Ἐφέσου, καὶ τῆς Ἐκκλησίας ἁπάσης, στῦλος ἀνεδείχθης ἀκατάσειστος.

Ὅτε ὡς παμμέγιστος φωστήρ, Πάτερ ἐξ Ἑῴας ἐκλάμψας, πρὸς Δύσιν ἔφθασας, τότε τὸ ἀνέσπερον φῶς καὶ ἀκίβδηλον, τῇ τοῦ Πνεύματος χάριτι, τῆς Ὀρθοδοξίας, πᾶσι τρανῶς ἔδειξας, λόγων λαμπρότητι. Ὅθεν ὡς ὀθνεῖα φρονοῦντας, κατὰ τῶν πατρῴων δογμάτων, ἤλεγξας Λατίνων τὰ συστήματα.

Μόνος ἐν Φερράρᾳ ἀνδρικῶς, καὶ ἐν Φλωρεντίᾳ μεγίστους, ἀγῶνας ἤνυσας, ἀνταγωνιζόμενος, πρὸς Λατινόφρονας, καὶ Λατίνους στερρότατα, καὶ τούτους ἐλέγχων, οἷα κιβδηλεύσαντας, πίστιν τὴν ἄμωμον. Ὅθεν τῇ λαμπρᾷ σου ἐνστάσει, πέπτωκεν ὀφρὺς ἡ τοῦ Πάπα, Μᾶρκε τοῖς Πατράσιν ἀντιβαίνοντος.

Πύργος Ἐκκλησίας ἀρραγής, οἷα μιμητὴς Ἀποστόλων, Πάτερ γενόμενος, τὴν κακίστην ἕνωσιν, Συνοδικῶς ἀκυροῖς, ὡς ψευδῆ καὶ ὀλέθριον, καὶ στερρῶς ἐμμένειν, τοῖς ἐνθέοις δόγμασι, πάντας ἐστήριξας. Ὅθεν ὡς διδάσκαλον μέγαν, καὶ λαμπρὸν φωστῆρα ὑμνεῖ σε, Μᾶρκε Ἐκκλησία ἡ Ὀρθόδοξος.

www.tezaurliturgic.ro

*Δόξα. Ἦχος δ'.*

Ἀποστολικοῖς κεκοσμημένος χαρίσμασι, τῆς Ὀρθοδόξου πίστεως, παναληθέστατος ῥήτωρ, καὶ ὑποφήτης θεόσοφος, Πάτερ ἐδείχθης· ἐν γὰρ δυνάμει λόγου, καὶ ἀποδείξει ἀληθείας, τὰς κενοφώνους διδαχάς, καὶ τὴν ἐν τῷ Συμβόλῳ προσθήκην, ὡς εὐσεβείας παρατροπήν, Μᾶρκε ἀπέδειξας· καὶ τὴν ψυχήν σου θέμενος, ὑπὲρ τῶν θείως δεδογμένων, παρὰ Χριστοῦ ἀξίως δεδόξασαι, ὡς Ἱεράρχης ἐνθεώτατος.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

*Ἀπόστιχα.*

*Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.*

Χάρις παρὰ Θεοῦ, πλουσία σοὶ ἐδόθη, δι' ἧς τῆς ἀληθείας, τὰ δόγματα κρατύνεις, ὦ Μᾶρκε θείῳ Πνεύματι.

*Στίχ.* Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου.

Ἰσχυνας ἐμφανῶς, ὡς κενολόγων λέσχην, τὴν τῶν Λατίνων δόξαν, τῇ θείᾳ σου σοφίᾳ, ὦ Μᾶρκε ἱερώτατε.

*Στίχ.* Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει.

Βάσιν σε ἀσφαλῆ, ἡ τῆς Ἑῴας Πάτερ, ἁγία Ἐκκλησία, πλουτοῦσα ἀποτρέπει, αἱρετικῶν φρυάγματα.

*Δόξα. Τριαδικόν.*

Μόνον ἐκ τοῦ Πατρός, προέρχεσθαι τὸ Πνεῦμα, καὶ δι' Υἱοῦ τῷ κόσμῳ, ἐκφαίνεσθαι κηρύττεις, ὀρθῶς Μᾶρκε μακάριε.

*Καὶ νῦν. Θεοτοκίον.*

Σάρκωσιν τὴν ἐκ σοῦ, τοῦ Ὑπερθέου Λόγου, θεοπρεπῶς κηρύττων, ὁ Μᾶρκος Θεοτόκε, αἰσχύνει τοὺς παράφρονας.

*Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ μεγάλου Ἑσπερινοῦ, καὶ ἀπόλυσις.*

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

*Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.*

*Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Τὴν θεόφθογγον σάλπιγγα, τῶν δογμάτων τῆς πίστεως, τὸ τοῦ θείου Πνεύματος στόμα ἔνθεον, Ὀρθοδοξίας τὸν μέγιστον, φωστῆρα καὶ πρόμαχον, καὶ διδάσκαλον σοφόν, καὶ ἑδραίωμα ἄσειστον, δεῦτε ἅπασα, ἡ Χριστοῦ Ἐκκλησία κατὰ χρέος, ἀνυμνήσωμεν ἀξίως, Μᾶρκον Ἐφέσου τὸν πρόεδρον.

Τὴν τοῦ Πνεύματος ἔλλαμψιν, προφανῶς κληρωσάμενος, ἐξ Ἑώας ἔδραμες ὥσπερ ἥλιος, ἐπὶ τὴν Δύσιν μακάριε, καὶ λόγων λαμπρότητι, καὶ σοφίᾳ ἀληθεῖ, τῶν Λατίνων διήλεγξας, τὰ σοφίσματα, κενολόγους αὐτοὺς ἐναποδείξας, ὡς τὴν πίστιν τῶν Πατέρων, τὴν ἀληθῆ κιβδηλεύσαντας.

Τῇ σοφίᾳ τῶν λόγων σου, ἀντιστῆναι οὐκ ἴσχυσαν, οἱ τῆς πλάνης ἔξαρχοι Μᾶρκε ἔνδοξε· σὺ γὰρ ἀνδρείῳ φρονήματι, λαμπρῶς ἐρρητόρευσας, τῶν δογμάτων τῶν ὀρθῶν, θαυμαστῶς τὴν ἀνάπτυξιν, καὶ ἀκρίβειαν, ἐν Φερράρᾳ ὁμοῦ καὶ Φλωρεντίᾳ, καὶ ἐφίμωσας Λατίνων, Πάτερ ἀπύλωτα στόματα.

Τίς ἀξίως ὑμνήσει σε, Μᾶρκε Πάτερ θεόσοφε; ὅτι ἡμᾶς ἔσωσας κινδυνεύοντας, τῆς ἐκ τῆς Ρώμης χειρώσεως, καὶ λύμης αἱρέσεως, καὶ ἠθῶν καινοφανῶν, ὡς ποιμὴν ἀληθέστατος· ὅθεν ἅπασα, ἡ Ἑώας ἁγία Ἐκκλησία, ὡς προστάτην καὶ σωτῆρα, καὶ εὐεργέτην γεραίρει σε.

Θεοσόφῳ σου στόματι, ὡς καινὴν καὶ πανάθεσμον, τὴν προσθήκην ἤλεγξας Μᾶρκε πάνσοφε, τὴν ἐν Συμβόλῳ τῆς πίστεως, καὶ χαίρων ἠγώνισαι, πρὸς Λατίνων τοὺς σοφούς, οὓς

www.tezaurliturgic.ro

[illegible] ἀπέδειξας, τῇ [illegible], καὶ δογμάτων ὀρθὸν τῇ ἀναπτύξει, καὶ Πατέρων θείοις λόγοις, ὡς μιμητὴς τούτων ἄριστος.

Τῆς Ἐφέσου τὸν πρόεδρον, Ἰωάννην τὸν δεύτερον, ἀληθῶς ἐν ἅπασιν ἐπιστήθιον, Μᾶρκον τὸν μέγαν αἰνέσωμεν· αὐτὸν γὰρ μιμούμενος, ὡς τῶν τρόπων κοινωνός, ἐκ Πατρὸς ἐκπορεύεσθαι, ἀνεκήρυξε, τὸ Παναγίου Πνεῦμα καταφλέξας, τῇ πυρίνῃ αὐτοῦ γλώσσῃ, τοὺς ἀσεβῶς βλασφημήσαντας.

Δόξα. *Ἦχος πλ. β'.*

Σήμερον ὑπὲρ ἥλιον ἔλαμψεν, ἡ πανέορτος μνήμη, τοῦ τῆς Ὀρθοδοξίας προμάχου, Μάρκου τοῦ παμμάκαρος, τὴν Ἐκκλησίαν λαμπρύνουσα· δεῦτε τῶν Ὀρθοδόξων τὰ συστήματα, πνευματικῶς ἑορτάσωμεν, εὐσήμῳ στόματι βοῶντες· χαίροις τῆς ἐν Ἑώᾳ ἁγίας Ἐκκλησίας, στῦλος καὶ ἑδραίωμα, καὶ τῆς ἐν Δύσει κενῶς φρυαττομένης, ἀκαταγώνιστος ἔλεγχος· χαίροις τῶν ἀληθῶν δογμάτων, ταμίας ἀσφαλής, τῶν Πατερικῶν θησαυρὸς παραδόσεων, καὶ τῆς Δυτικῆς ἀνταρσίας, καταπέλτης ἰσχυρός· χαίροις Μᾶρκε Πατὴρ ἡμῶν, τῶν Ἀποστόλων μιμητά, καὶ τῆς Ἐφέσου πρόεδρε περίδοξε. Πρέσβευε δεόμεθα, ἀσαλεύτους ἡμᾶς μένειν, τῇ καλῇ ὁμολογίᾳ, καὶ ἐκ πάσης λυτροῦσθαι αἱρέσεως.

Καὶ νῦν. *Ὁ αὐτός.*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα ὡς ἑξῆς :*

Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφ. ι'. 7.

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν.

www.tezaurliturgic.ro

Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοίνυν οὖν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ. Καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνήν, υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν, καὶ ἔννοιαν· ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

Κεφ. ζ΄. 7.

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

Κεφ. ι΄. 32.

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν. Δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν· καὶ ἐν ἀγαθοῖς αὐτοῦ, καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρῆται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτήν, οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα, καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου· καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν· μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὐτὴ διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ

www.tezaurliturgic.ro

ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγιγνώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων. Καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή· ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί· καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α'.*

Εὐφραίνου ἐν Κυρίῳ, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, Μᾶρκον τὸν ἀήττητον ἀριστέα, πρόβολον μέγαν ἔχουσα, καὶ φωστῆρα ἀπλανῆ, καὶ ὁδηγὸν ἐνθεώτατον· ὑπὲρ τῆς ὀρθῆς γὰρ προκινδυνεύσας πίστεως, τῶν ἐν σοὶ θεόθεν δεδογμένων, λόγῳ καὶ ἔργῳ τὴν ἀκρίβειαν, ἔτι ἅπαξ ἠσφαλίσατο· καὶ Λατινικὴν θριαμβεύσας ἀπόνοιαν, Ἀποστολικῶς ἠγωνίσατο, ὡς ἂν ἀλύμαντον φυλάξῃ, τὸν περιούσιον λαόν, ἐκ πάσης αἱρέσεως. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

*Ἦχος β'.*

Ἀποστολικῇ λαμπόμενος χάριτι, καὶ ζήλῳ θείῳ πυρπολούμενος, ὡς Ἠλίας ὁ μέγας, Μᾶρκε ἱερώτατε, ἀκατάπληκτος ἔστης, τῶν Πατρῴων δογμάτων προασπιστής, καὶ τῆς Ὀρθοδοξίας συνήγορος, κινδυνεούσης δεινῶς· τὸ κατακλύζον γὰρ ἐκ Δύσεως, θολερὸν ῥεῦμα ἀνέστειλας, καὶ τῆς ἐκ τούτου βλάβης, ἀσινῆ αὐτὴν διέσωσας. Διὸ χαριστηρίους ᾠδάς σοι ᾄδομεν, καὶ χρεωστικῶς τὴν μνήμην σου ἄγομεν, ὡς ἂν ῥυσθείημεν Ἅγιε, προσδοκωμένων περιστάσεων.

*Ἦχος γ'.*

Τίς ἐπαξίως ὑμνήσει, τοὺς ὑπερφυεῖς ἀγῶνάς σου, Μᾶρκε πολυθαύμαστε, τῆς Ἐφέσου πρόεδρε, καὶ πάσης Ἐκκλησίας, ὑφηγητὰ καὶ διδάσκαλε· σὺ γὰρ μέγα τρόπαιον, ἐν Φλωρεντίᾳ ἤγειρας, κατισχύσας πάντων, ἐν τῇ δυνάμει τοῦ Πνεύματος· καὶ μονομάχος ἄριστος, τῆς καλῆς ὁμολογίας φανείς, Λατινικὰς ἐρεσχελίας διέλυσας, καὶ ψευδαδέλφων συστροφάς, οὐδόλως ἔπτηξας.

www.tezaurliturgic.ro

Ἀλλ' ὡς Ἀποστόλων ζηλωτής, καὶ τῶν Πατρικῶν παραδόσεων, στόμα θεόπνευστον, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος δ'.*

Ἀποστολικοῖς ἐντεθραμμένος δόγμασι, τὴν ἐν αὐτοῖς ἀλήθειαν, διὰ πάντων ἀναλλοίωτον, καὶ ὑπὲρ ἥλιον λάμπουσαν, τῇ πυρίνῃ γλώσσῃ σου, τοῖς πᾶσιν ὑπέδειξας, Μᾶρκε Πατὴρ ἡμῶν· ἐκ Πατρὸς γὰρ μόνον, ἐκπορεύεσθαι τὸ Πνεῦμα ἐκήρυξας, ὡς τῆς βροντῆς ὁ γόνος γράφων διδάσκει· ἔνθεν παραχαράκτας, τῆς ὀρθῆς διδασκαλίας, τοὺς τῆς Δύσεως γόνους ἔδειξας· ἐξ οὗ καὶ πλεῖστα ἕτερα, ξένα καὶ ἀλλότρια, τῇ ἀμώμῳ εἰσαγαγόντας πίστει. Ἀλλ' ὦ Πατέρων ἀκροθίνιον, καὶ Ἐκκλησίας στήριγμα, τῆς τούτων λύμης ἡμᾶς φύλαττε, τοὺς τελοῦντας τὴν μνήμην σου.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Τὴν πανοπλίαν τῆς πίστεως, ἐνδεδυμένος Πάτερ, αἱρετικῶν συνασπισμὸν διέλυσας, ἐν τῇ δοθείσῃ σοι χάριτι, ὡς Ἱεράρχης θεόληπτος· τῆς γὰρ πάλαι Ῥώμης τὸν πρόεδρον, κατεπαιρόμενον δεινῶς τῆς τῶν Πατέρων γνώσεως, καὶ τῶν ἁγίων Συνόδων, εἰς τέλος κατέβαλες, τῇ ἀτρέπτῳ ἐνστάσει σου· Οὐδὲν γὰρ ἐποιήσαμεν, ὁ ἄνους ἐβόησεν, ὁμολογῶν τὴν ἧτταν· καὶ διεστώτων σύναψις, καὶ κλονουμένων στηριγμὸς γενόμενος, ἀξίως ἐδοξάσθης, παρὰ Χριστοῦ τοῦ Θεοῦ, Μᾶρκε παμμακάριστε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε Θεοτόκε Παρθένε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.*

*Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.*

Χαίροις Ὀρθοδοξίας φωστήρ, θεολογίας ἀληθοῦς τὸ θησαύρισμα, δογμάτων ὀρθῶν τὸ στόμα, κακοδοξίας πρηστήρ, τῶν αἱρετιζόντων ἡ κατάπτωσις· ἡ γλῶσσα ἡ εὔλαλος, ἡ πανσόφως κηρύξασα, ἐν Φλωρεντίᾳ, τῶν σεπτῶν παραδόσεων, τὴν ἀκρίβειαν, ἀληθῶς θεοτύπωτον· Μᾶρκε μακαριώτατε, τοῦ Πνεύματος σκήνωμα, τῆς οὐρανίου σοφίας, τὸ παναρμόνιον ὄργανον· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Στίχ.* Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

www.tezaurliturgic.ro

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, τῶν Ἀποστόλων ζηλωτὴς καὶ ὁμότροπος· αὐτῶν γὰρ τὸν ζῆλον ἔχων, καὶ πῦρ τὸ θεῖον ἐν σοί, ἀληθείας ὤφθης μέγας πρόμαχος· λαμπρῶς γὰρ ἐκήρυξας, ἐκ Πατρὸς προερχόμενον, τὸ θεῖον Πνεῦμα, καὶ προσθήκην τὴν ἔκτοπον, ἐστηλίτευσας, ἐν Συμβόλῳ τῆς πίστεως· ἔνθεν Πάτερ ἀμέθεκτον, οὐσίαν τὴν ἄκτιστον, καὶ μεθεκτὴν ἐνεργείαις, ἐπὶ Θεοῦ ὡμολόγησας. Αὐτὸν ἐκδυσώπει, θεῖε Μᾶρκε ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.

*Στίχ.* Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Χαίροις Ἱεραρχῶν καλλονή, τῶν Ὀρθοδόξων πολυθρύλητον καύχημα, καὶ ἔνθεος ὑποφήτης, καὶ ὁδηγὸς ἀσφαλής, πρὸς σωτηριώδεις τρίβους Ἅγιε· ὁ λύσας τοῖς λόγοις σου, τῶν Λατίνων σοφίσματα, καὶ καταισχύνας, τὸ μετέωρον φρόνημα, τοῦ ἀλάστορος, Εὐγενίου καὶ ἄφρονος. Ὅθεν σε μακαρίζομεν, ὡς μέγαν διδάσκαλον, τῆς καθ' ἡμᾶς Ἐκκλησίας, καὶ ἀρραγὲς περιτείχισμα· ἣν φύλαττε Πάτερ, ἐξ αἱρέσεως ἁπάσης ἀνεπηρέαστον.

Δόξα. Ἦχος πλ. δ'.

Τὴν τοῦ Πνεύματος ἰσχύν, περιζωσάμενος Πάτερ, τὰς τοῦ σκότους φάλαγγας, καταβαλὼν ἐθριάμβευσας· ὢ τοῦ θαύματος! πῶς μόνος ἀνεδέξω, τὸν ὑπὲρ τῆς ἀληθείας μέγαν ἀγῶνα, καὶ πάντων περιεγένου, τῶν πολλαχῶς ἀντικειμένων; ἀλλ' ἢ ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, νίκην θαυμαστὴν ἐνίκησας, σώσας Ἐκκλησίαν κινδυνεύουσαν. Καὶ νῦν Μᾶρκε πανθαύμαστε, πρέσβευε τῇ Τριάδι, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. *Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει, σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον*
*Ἦχος πλ. α'.* Τὸν συνάναρχον Λόγον.

Ἐκκλησίας τὸν στῦλον τὸν ἀκατάσειστον, Ὀρθοδοξίας ἁπάσης τὸν μέγαν πρόμαχον, ἀνυμνοῦμέν σε πιστῶς Μᾶρκε

www.tezaurliturgic.ro

[illegible]· ὅτι αἱρέσεων δεινῶν διαλύει τὴν ἀχλύν, ἐν δόγμασιν ἀληθείας, καὶ τῷ Σωτῆρι πρεσβεύεις, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Θεοτοκίον.*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων ἐν σοί· χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡτεκοῦσα ἐν σαρκί, τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

*Ἀπόλυσις.*

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.*
*Ἦχος α΄.* Τὸν τάφον σου Σωτήρ.

Φωστὴρ περιφανής, εὐσεβείας ἐδείχθης, καὶ βίβλος μυστική, παραδόσεων θείων, καὶ μάχαιρα ἐκτέμνουσα, ἀσεβείας ζιζάνια, Μᾶρκε πάνσοφε, Ὀρθοδοξίας λαμπρότης· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, τελοῦντες ὑμνοῦμέν σε.

*Θεοτοκίον.*

Ἐτέχθη ὑπὲρ νοῦν, ἐξ ἁγνῶν σου αἱμάτων, ὁ πάντων συνοχεύς, καὶ Θεὸς καὶ Δεσπότης, ἡμᾶς ἀνακαλούμενος, πρὸς τὴν πρώτην λαμπρότητα, ἧς πεπτώκαμεν, τῆς ἐντολῆς παραβάσει· διὰ τοῦτό σε, ὑμνολογοῦμεν Παρθένε, ὡς κόσμου ἀντίλυτρον.

*Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.*
*Ἦχος δ΄.* Ταχὺ προκατάλαβε.

Ἐφέσου ποιμένα σε, καὶ κυβερνήτην σοφόν, καὶ μέγαν διδάσκαλον, τῆς Ἐκκλησίας Χριστοῦ, ἡ χάρις ἀνέδειξε· ταύτην γὰρ πρὸς λιμένα, ἀσφαλείας ἰθύνεις, σάλῳ χειμαζομένην, συμφορῶν καὶ κινδύνων· διό σε μακαρίζομεν, Μᾶρκε Πατέρων καύχημα.

*Θεοτοκίον.*

Θεὸν ὃν ἐκύησας, ἀκαταλήπτως, Ἁγνή, τὸν κόσμον λυτρούμενον, ἐκ τῆς ἀρχαίας ἀρᾶς, ἀπαύστως ἱκέτευε, σκέπειν ἐκ πάσης βλάβης, τὴν αὐτοῦ Ἐκκλησίαν· λύειν αἱρετιζόντων, κατ' αὐτῆς τὴν κακίαν· ἡ σὴ γὰρ μεσιτεία, πολὺ ἰσχύει Δέσποινα.

www.tezaurliturgic.ro

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα.*
*Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.*

Τῆς σοφίας σου Πάτερ τὸν θησαυρόν, κατεπλάγησαν πάντες ὡς ἀληθῶς, Δύσεως οἱ ἔκγονοι· ὅτι πᾶσιν ὡς ἄριστα, τοῖς ἐν τῷ συνεδρίῳ, ἑτοίμως ἐν Πνεύματι, ἐδίδως ἀποκρίσεις, τρανῶν τὴν ἀλήθειαν· ὅθεν θριαμβεύσας, τὰς αὐτῶν φληναφίας, Πατέρων τοῖς ῥήμασι, καταβάλλεις τὸ φρύαγμα, τῆς αὐτῶν ματαιότητος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, Ἱεράρχα Μᾶρκε ἱερώτατε, ἡμᾶς ἀτρέπτους τηρεῖσθαι, τοῖς ἁγίοις δόγμασι.

*Θεοτοκίον.*

Τὴν ὑπέρθεον φύσιν καὶ παντουργόν, περισχοῦσα παρθένε ἐν σῇ γαστρί, ἀφράστως ἐκύησας, τὸν Σωτῆρα καὶ Κύριον, τῷ κόσμῳ σωτηρίαν, καὶ λύτρωσιν νέμοντα, δι' ἄκραν εὐσπλαχνίαν, τῆς πάλαι κακώσεως· ὅθεν τὰ πολλά σου, μεγαλεῖα ὑμνοῦμεν, καὶ πίστει δοξάζομεν, τῆς σῆς δόξης τὴν ἔλλαμψιν, Θεοτόκε Πανύμνητε. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς καταφεύγουσι πόθῳ, τῇ σκέπῃ σου Ἄχραντε.

*Τὸ α'. ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.*

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

*Στίχ.* Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη...

*Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ τῆς 13ης Νοεμβρίου*

*Ὁ Ν'. Δόξα.* Ταῖς τοῦ Ἱεράρχου...

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου...

*Ἰδιόμελον. Ἦχος πλ. β'.*

*Στίχ.* Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Σήμερον ὁ τῆς Ἐφέσου θεόσοφος ποιμήν, καὶ πάσης Ἐκκλησίας ὀφθαλμός, καὶ κοινὸς πατήρ, Μᾶρκος ὁ θεσπέσιος, Ἀποστολικῶς τελέσας τὸν δρόμον, τὴν πρὸς τὰ ἄνω πορείαν ἐποιήσατο· καὶ τῷ τῆς μεγαλωσύνης θρόνῳ παρεστηκώς, τῶν καμάτων τὰ γέρα, ζωαρχικῇ χειρὶ κομίζεται· ἡμῖν δὲ αἰτεῖται, τοῖς αὐτὸν τιμῶσιν, ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro

Σῶσον ὁ Θεὸς τὸν λαόν σου..

*Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου ὁ ἑξῆς, οὗ ἡ ἀκροστιχίς.*

« Στῦλος ὤφθη Ἐκκλησίας Μᾶρκος. *Γερασίμου* ».

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Σοφίαν παράσχου μοι, Πάτερ Υἱὲ Πνεῦμα Ἅγιον, Τριὰς ὁμοούσιε, ἵνα ὑμνήσω φαιδρῶς, Μᾶρκον Δέσποτα, τὸν σὸν λαμπρὸν φωστῆρα, τὸν θείῳ σε στόματι, θεολογήσαντα.

Τῷ γένει περίβλεπτος, καὶ τῇ σοφίᾳ περίδοξος, καὶ πᾶσιν αἰδέσιμος, ὤφθης τῷ βίῳ σου, Μᾶρκε ἔνδοξε· ἐντεῦθεν Ἐκκλησία, ἐν σοὶ ἀνεχαίτισε, πλάνης τὰ ῥεύματα.

Ὑπάρχων ἀνάπλεως, τῆς ἐπιπνοίας τοῦ Πνεύματος, ὦ Μᾶρκε Θεόσοφε, ὡς καθαρθεὶς τὴν ψυχήν, τοῦτο Ἅγιε, ἐκ τοῦ Πατρὸς καὶ μόνον, ὀρθῶς ἐκπορεύεσθαι, τρανῶς ἐκήρυξας.

*Θεοτοκίον.*

Λυχνία πολύφωτε, τῶν χαρισμάτων τοῦ Πνεύματος, Παρθένε Πανάμωμε, Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, φωταγώγησον, τῇ σῇ φωταγωγίᾳ, τοὺς πίστει γεραίροντας, τὰ μεγαλεῖά σου.

*Καταβασία.*

Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσε ποτέ· ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι. Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Οὐράνιον ἔλλαμψιν πλουτήσας, ἀσκήσει ὁσίων ἀρετῶν, ποιμὴν Ἐφέσου γέγονας, τῇ ἐκλογῇ τοῦ κρείττονος, καὶ πάσης Ἐκκλησίας δέ, ὦ Μᾶρκε μέγας διδάσκαλος.

Σοφίᾳ τὸ στόμα σου ἀνοίξας, τῇ θείᾳ ὦ Μᾶρκε ἱερέ, ἐν τῇ Φερράρᾳ πρότερον, καὶ Φλωρεντίᾳ ὕστερον, περιφανῶς ἐκήρυξας, Ὀρθοδοξίας τὰ δόγματα.

www.tezaurliturgic.ro

Ἀμέτοχον χάριτος τῆς θείας, ἀμέθεκτον εἶναι τοῦ Θεοῦ, τὴν φύσιν ἀνεκήρυξας, μετέχειν δὲ τὰ κτίσματα, τῆς ἐνεργείας Ἅγιε, τῆς θεϊκῆς θείῳ Πνεύματι.

*Θεοτοκίον.*

Φωτὶ τῶν ἁγίων πρεσβειῶν σου, ἀπέλασον δέομαι θερμῶς, Φωτοκυῆτορ Δέσποινα, τὸ σκότος τῆς καρδίας μου, καὶ δίδου μοι πορεύεσθαι, τὰς τοῦ φωτὸς τρίβους πάντοτε.

*Καταβασία.*

Σὺ ὁ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι.

*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Μέγας πρόμαχος, Ὀρθοδοξίας, καὶ καθαίρεσις, κακοδοξίας, τῆς Δυτικῆς ἀνεδείχθης μακάριε, τὰ τῶν Πατέρων τρανώσας διδάγματα, καὶ καταισχύνας Λατίνων τὸ φρύαγμα. Μᾶρκε ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Θεοτοκίον.*

Σὰρξ γεγένηται, ἐκ τῆς σαρκός σου, ὁ Ὑπέρθεος, Ἄχραντε Λόγος, καὶ ἀνεστράφη τῷ κόσμῳ ὡς ἄνθρωπος· τίς οὖν ὑμνήσει τὴν ἄρρητον δόξαν σου; ὅτι Θεὸν ἀπορρήτως γεγέννηκας. Κόρη Πάναγνε, Αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Θεορρήμονί σου γλώσσῃ, ρητορεύων ἐκήρυξας, ἀπαραχαράκτους, ὅρους τῶν Συνόδων καὶ ῥήματα, τῶν θεοφόρων Πατέρων τοὺς Λατίνους δέ, τούτων Ἅγιε, παραχαράκτας ἀπέδειξας.

Ἡ τοῦ Πνεύματος κιθάρα, τὸ θεόπνευστον ὄργανον, τῶν σεπτῶν Συνόδων, ὁ περιφανέστατος ἔκδικος, Ὀρθοδοξίας ἡ σάλπιγξ ἡ πανεύσημος, ἀνυμνείσθω μοι, Μᾶρκος ὁ μέγας τοῖς ᾄσμασι.

www.tezaurliturgic.ro

Ἐλλαμφθεὶς τῇ διανοίᾳ, ὡς Χριστοῦ οἱ Ἀπόστολοι, Θεοῦ θείαν δόξαν, ἄκτιστον ἐνέργειαν ἔφησας, τὸ ἐν Θαβὼρ μέγα φῶς Μάρκε μακάριε, τοὺς μὴ οὕτω δέ, ὀρθῶς φρονοῦντας κατῄσχυνας.

Καθαιρεῖς δοκησισόφων, Δυτικῶν φληναφήματα, τῶν λεγόντων εἶναι, τοῦτο τὴν οὐσίαν τὴν ἄφραστον, ἀποδείξας αὐτὸ θείαν ἐνέργειαν, Πάτερ ἄκτιστον, καὶ μεθεκτὴν τοῖς πιστεύουσι.

*Θεοτοκίον.*

Κλίμαξ ἄϋλος ὠράθης, Ἰακὼβ τῷ θεόφρονι, δι' ἧς τοῖς ἐν σκότει, ὤφθη ὁ Θεὸς σωματούμενος, καὶ τὸν πεσόντα Ἀδὰμ Ἁγνὴ ἀνύψωσε, πρὸς εὐγένειαν, ἐξ ἧς τὸ πάλαι πεπτώκαμεν.

*Καταβασία.*

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου Χριστέ· τῆς κιβωτοῦ γὰρ προελθὼν, τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου Μητρὸς ἐν τῷ ναῷ τῆς δόξης σου, ὤφθης ὡς βρέφος ἀγκαλοφορούμενος, καὶ ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

*Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.*

Λαμπρότητι λόγων σου, Λατίνων ἀπημαύρωσας, τέλεον τὸν νοῦν καὶ τὴν καρδίαν· τὸν γὰρ τῆς Ῥώμης ποιμένα εἶναι σοφέ, πρῶτον μεταξὺ ἴσων ὀρθῶς, κεφαλὴν ἁπάντων δέ, τὸν Χριστὸν ἀνεκήρυξας.

Ἡλίου λαμπρότερον, Μᾶρκε σοφὲ ἀπέδειξας, ἐν τῇ Φλωρεντίᾳ ῥητορεύων, δύο τοὺς τόπους εἶναι ὡς λέγει Χριστός, τοῖς ἀπερχομένοις τῶν φθαρτῶν, τρίτον τόπον δ' Ἅγιε, οὐδαμῶς μαρτυρούμενον.

Σοφίᾳ τῶν λόγων σου, οὐδόλως Πάτερ ἴσχυσαν, Ἰουλιανὸς καὶ Ἰωάννης, οἱ τῆς τοῦ κόσμου σοφίας τρόφιμοι, Μᾶρκε ἀντιστῆναι ἢ μικρόν, ἀντειπεῖν φιμούμενοι, ἀληθείας τῇ χάριτι.

*Θεοτοκίον.*

Ἰάτρευσον Ἄχραντε, νοσοῦσαν τὴν καρδίαν μου, ταῖς τοῦ ἀρχεκάκου ἐπηρείαις, καὶ τοῦ νοός μου τὸν πόθον πτέρω-

www.tezaurliturgic.ro

σιν, πρὸς τὸ φῶς τῶν θείων ἀρετῶν, ὡς ἐν υἱὸς γέγοναι, τοῦ φωτὸς βίῳ κρείττονι.

*Καταβασία.*

Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς, ἐν θρόνῳ ἐπηρμένῳ Θεόν, ὑπ' Ἀγγέλων δόξης δορυφορούμενον, ὢ τάλας! ἐβόα ἐγώ, πρὸ γὰρ εἶδον σωματούμενον Θεόν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.

*Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ἀκαταπλήκτῳ φρονήματι, ὑπὲρ τῶν ἱερῶν παραδόσεων, Μᾶρκε θεόσοφε, ἐπιβουλὰς πλείστας ἤνεγκας, ἀλώβητον φυλάττων, πίστιν τὴν ἄμωμον.

Σοφίας στόμα πυρίπνοον, δογμάτων Ὀρθοδόξων θησαύρισμα, Μᾶρκε γενόμενος, τὴν ἐκ τῆς Δύσεως ἅπασαν, προερχομένην πλάνην, Πάτερ κατέβαλες.

Μέγας ἐν πᾶσι γενόμενος, μεγάλως κινδυνεύουσαν ἔσωσας, Μᾶρκε πανεύφημε, κακοδοξίᾳ τῆς Δύσεως, Χριστοῦ τὴν Ἐκκλησίαν· διὸ γεραίρει σε.

*Θεοτοκίον.*

Ἀκαταφλέκτως συνέλαβες, τὸ πῦρ τὸ τῆς Θεότητος Ἄχραντε, καὶ ὕλη σώματος, τὸν Θεὸν Λόγον γεγέννηκας, λυτρούμενον τὸν κόσμον, τῆς παραβάσεως.

*Καταβασία.*

Ἐβόησέ σοι, ἰδὼν ὁ πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, ὃ λαοῖς ἐπέστη, ἐκ Θεοῦ, Χριστὲ σὺ Θεός μου.

*Κοντάκιον.*

*Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.*

Ορθοδοξιας τον φωστηρα τὸν πολύφωτον
Καὶ Δυτικῆς ἐρεσχελίας τὸν ἀντίμαχον
Ἀναδήσωμεν τοῖς ἄνθεσι τῶν ᾀσμάτων·
Ἀληθείας γὰρ τὸ κράτος ὁπλισάμενος

www.tezaurliturgic.ro

καταβέβληκε τοῦ σκότους τὰ φρυάγματα.
Τούτῳ λέγοντες, χαίροις Μᾶρκε Πατὴρ ἡμῶν.

*Ὁ Οἶκος.*

Ἄγγελος ἀληθείας, ἐξ Ἑώας ἐπέστης, τῇ Δύσει ἱερώτατε Μᾶρκε, καὶ τῇ θεοσόφῳ σου φωνῇ, Ὀρθοδοξίας ἐκφαίνεις τὴν ἔλλαμψιν· διὸ τὸν μέγαν ἆθλόν σου, θαυμάζοντες ἀναβοῶμεν.

χαῖρε ὁ πύργος τῆς εὐσεβείας
χαῖρε ὁ γίγας τῆς ἀληθείας
χαῖρε τῶν Πατρῴων δογμάτων ἀνάπτυξις
χαῖρε τῶν ὀθνείων ρημάτων κατάργησις
χαῖρε στόμα ἐνθεώτατον τῶν τοῦ Πνεύματος θεσμῶν
χαῖρε σάλπιγξ θεοκίνητος τῶν Συνόδων τῶν σεπτῶν
χαῖρε ὅτι ἐλέγχεις Δυτικὰς φληναφίας
χαῖρε ὅτι ἐκτρέπεις δυσσεβεῖς σοφιστείας
χαῖρε σφοδρὸς Λατίνων κατήγορος
χαῖρε πιστῶν ὁ μέγας συνήγορος
χαῖρε Χριστοῦ ἐνθεώτατος φίλος
χαῖρε σεπτῶν παραδόσεων βίβλος
χαίροις Μᾶρκε Πατὴρ ἡμῶν.

*Συναξάριον.*

Τῇ ιθ' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μάρκου Ἀρχιεπισκόπου Ἐφέσου τοῦ Εὐγενικοῦ, τοῦ τῆς Ὀρθοδοξίας μονομάχου καὶ ὑπερμάχου φύλακος.

*Στίχ.*

Κρατεῖ μὲν Ἄτλας μυθικῶς ὤμοις πόλον
Κρατεῖ δ' ἀληθῶς Μᾶρκος Ὀρθοδοξίαν.

Δεκάτῃ ἠδ' ἐνάτῃ Μάρκου ἱεροῦ τελέουσι μνήμην.

Ὁ περιφανὴς οὗτος τῆς Ἐκκλησίας φωστὴρ καὶ τῆς Ὀρθοδοξίας ἀκαταγώνιστος πρόμαχος ἐγεννήθη ἐν τῇ βασιλευούσῃ τῶν πόλεων ἐν ἔτει 1392, ἐκ γονέων εὐγενῶν, πλούτῳ εὐσεβείας, καὶ λαμπρότητι γένους, καὶ εὐροίᾳ βίου κομώντων, Γεωργίου καὶ Μαρίας, τοὐπίκλην Εὐγενικῶν· ἦν ὁ πατὴρ αὐτοῦ Διάκονος καὶ Σακελλίων, καὶ ἐποιοῦντο τὰς οἰκήσεις πέραν τοῦ ἄστεως, ἐν τόπῳ ᾧ ἡ κλῆσις Γαλατᾶς, καὶ ἔλαβε τὸ ὄνομα Μανουὴλ ἐν τῷ λουτρῷ τοῦ θείου βαπτίσματος. Τοιᾶσδε ριζουχίας

www.tezaurliturgic.ro

τυχὼν ὁ μακάριος καὶ τροφεὺς καὶ ἀνατραφεὶς ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, ἐγένετο κάτοχος ἀμφιλαφοῦς παιδείας, περιουσίᾳ ζήλου μετασχὼν τῆς θύραθεν σοφίας, καὶ μαθὼν τέχνην λόγων καὶ πᾶν ὅ,τι λυσιτελὲς τῆς ἔξω γνώσεως, μαθητεύσας τοῖς τότε ἐπὶ σοφίᾳ περιωνύμοις ἀνδράσιν, ἐν οἷς καὶ ὁ Πλήθων Γεώργιος. Τοιοῦτος ἤδη καταστάς, προέστη τοῦ φροντιστηρίου, οὗ εἶχε συστήσας ὁ πατὴρ αὐτοῦ. μεταστὰς πρό τινος τῶν τῇδε, ἔνθα συχνῶς διδάξας τὴν φοιτῶσαν νεολαίαν, παρετίθετο αὐτοῖς ἃ ἔδει μαθεῖν.

Τὸ εἰκοστὸν πέμπτον τῆς ἡλικίας ἄγων ἔτος, τῆς μονήρους ἐν ἐφέσει πολιτείας ἐγένετο· καὶ δὴ διανείμας τὸν προσόντα αὐτῷ πλοῦτον πτωχοῖς, καὶ χαίρειν πᾶσιν εἰπών, ἀπῆλθεν ἔντινι κατὰ τὴν Προποντίδα νήσῳ, ἧς ἡ κλῆσις Ἀντιγόνη· ἐν ταύτῃ ἦν τις ἱερὰ Μονή, ἐν ᾗ ἠσκεῖτο σφόδρα εὐλαβής τις ἀνήρ, πλήρης ὁσίων ἔργων καὶ χαρίτων θείων, ᾧ ὄνομα Συμεών. Τούτῳ προσελθὼν ὁ θεῖος ἀνήρ, καὶ ὑποταγεὶς ὅλῃ ψυχῇ καὶ καρδίᾳ, ἐγένετο παρ' αὐτοῦ μοναχός, μετονομασθεὶς Μᾶρκος. Ἀλλὰ φόβῳ ἐπιδρομῆς τῶν τῆς Ἄγαρ υἱῶν, ἀναχωρήσας ἐκεῖθεν, ἐλθὼν μετῴκησεν ἐν τῇ ἔνδον τῆς Πόλεως ἱερᾷ τοῦ Μεγαλομάρτυρος Ἁγίου Γεωργίου Μονῇ, τὴν τῶν Μαγγάνων κλῆσιν ἔχουσα. Ὧδε ὁ θεῖος Μᾶρκος ἐπέδωκεν ἑαυτὸν ἐν τῇ ἀκροτάτῃ μελέτῃ τῶν Ἁγίων Γραφῶν, καὶ λοιπῶν συγγραφῶν καὶ ἱερῶν δέλτων τῶν θεοφόρων Πατέρων, οὐ μὴν ἀλλὰ καὶ τῇ συντόνῳ ἀσκήσει τῶν ὁσίων ἀρετῶν καὶ τῆς θεοποιοῦ προσευχῆς, δι' ἧς ἐγένετο σκεῦος πολύτιμον τοῦ Ἁγίου Πνεύματος, καὶ τῶν ἐξ αὐτοῦ προϊουσῶν ἐλλάμψεων καὶ φωτισμῶν, χειροτονηθεὶς κατὰ τὸν αὐτὸν χρόνον καὶ ἱερεύς.

Κατ' ἐκεῖνον τὸν καιρόν, Ἰωάννου τοῦ Παλαιολόγου τῶν τῆς βασιλείας σκήπτρων ἐπειλημμένου, ἐσχεδιάζετο ἡ τῶν Ἐκκλησιῶν ἕνωσις, ὡς ἂν ἐκ ταύτης τύχῃ ὁ κρατῶν, οὐκ ὀρθῶς λογιζόμενος, τῆς τοῦ Πάπα ἐπικουρίας, πρὸς διάσωσιν τῆς κινδυνευούσης βασιλίδος. Καὶ δὴ βασιλικῷ προστάγματι, συνῆλθον πάντες οἱ τοῦ Ἔθνους καὶ τῆς Ἐκκλησίας λογάδες σὺν τῷ Πατριάρχῃ Ἰωσήφ, ἐν οἷς διαφερόντως διέπρεπεν ὁ ἱερὸς Μᾶρκος, ὡς πλήρης χάριτος καὶ δυνάμεως σοφίας θείας τε καὶ ἀνθρωπίνης, ὃς νεύσει θείᾳ ἀρχιερεὺς γεγονώς, τὴν τῆς Ἐφέσου ἐνεπιστεύετο ἁγίαν Ἐκκλησίαν. Τούτῳ ὡς ὑπερέχοντι ἐπὶ πλείστοις προτερήμασι, καὶ ἡ τῶν λοιπῶν Πατριαρχικῶν θρόνων, Ἀλεξανδρείας φημί, Ἀντιοχείας καὶ Ἱεροσολύμων ἀνετέθη ψῆφος. Καὶ οὕτως ἀποπλεύσαντες ἐκ Κωνσταντινουπόλεως μετὰ καὶ τοῦ βασιλέως, κατῆραν εἰς Ἰταλίαν, ἔνθα, ἐν Φερράρᾳ πρότερον καὶ Φλωρεντίᾳ

www.tezaurliturgic.ro

ὕστερον (πόλεως αὕτη τῆς Ἰταλίας), ἐθαυμάσθη ὁ ἱερὸς τοῦ Θεοῦ ἄνθρωπος Μᾶρκος ἐπὶ στερρότητι φρονήματος, καὶ ἑτοιμότητι λόγων, καὶ δεξιότητι καὶ εὐφυΐα, ἀποδείξεων πρὸς ὑπεράσπισιν τῶν τῆς Ὀρθοδοξίας πατρῴων δογμάτων, καὶ λοιπῶν θεοπαραδότων τῆς κατ' Ἀνατολὰς ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας παραδόσεων.

Πάντων γὰρ προεκρίθη, ὡς κεκτημένος ἐν πᾶσι, τοῖς τε εἴσω καὶ θύραθεν τὸ κράτος, ὡς ἂν ἐν ταῖς συνελεύσεσι τοῦ συνεδρίου ἐκείνου, τοῦ ὡς εἰπεῖν τῆς ματαιότητος, διαλέγηται μετὰ τῶν Λατίνων, συνεργὸν πρὸς τοῦτο ἔχων καὶ τὸν Νικαίας Βησσαρίωνα. Τότε δὴ τότε ἦν ἰδεῖν θέαμα ξένον καὶ παράδοξον· εἷς γὰρ ἀνὴρ μονώτατος, ὁ ἔνθεος Μᾶρκος, ἐμάχετο καταγωνίστως πρὸς πάντας, καὶ Λατίνους καὶ Λατινόφρονας· ἐξ ὧν οἱ μέν, ἐπὶ τῇ ἔξω σοφίᾳ ἐκαυχῶντο καὶ ματαιότητι στωμυλίας κατισχῦσαι ἐπειρῶντο, ἀλλ' εἰς μάτην ἐκοπίαζον· ὁ γὰρ θεῖος Μᾶρκος ἐν τῇ ἄνωθεν ῥοπῇ πάντων ἐκράτει καὶ κατίσχυεν· οἱ δὲ συμμαχεῖν αὐτῷ ταχθέντες ἐκ τῶν ἡμετέρων, καὶ δὴ ὁ Νικαίας Βησσαρίων, φθονήσαντες τῆς εὐκλείας τῷ ἀνδρί, ἔρριψαν τὰ ὅπλα, χωρήσαντες καὶ φρονήσαντες τὰ τῶν ἀντικειμένων, ψευδάδελφοι καὶ μάταιοι φανέντες. Ὁ δὲ θεῖος Μᾶρκος ἀναντιρρήτοις λόγοις καὶ ἀκαταμαχήτῳ σοφίᾳ θριαμβεύσας ὡς μέγας ἀριστεύς, τοὺς μὲν Λατίνους παραχαράκτας ἔδειξε τῆς ἀμώμου πατρῴας πίστεως καὶ ὁμολογίας ἐν πολλαῖς κενοτομίαις καὶ αἱρέσεσι κιβδηλεύσαντας αὐτήν, καὶ ὀθνείοις συλλογισμοῖς καπηλεύσαντας τὸν λόγον τοῦ Θεοῦ. Τί ἔτι λέγω; ἐπιλείψει με ὁ χρόνος διηγούμενον τὰς τῶν Λατίνων ἐρεσχελίας καὶ πλάνας καὶ αἱρέσεις, ἐξ ὧν ἡ ἐν τῷ ἱερωτάτῳ Συμβόλῳ βέβηλος προσθήκη, καὶ ἐκ τοῦ Υἱοῦ, ἡ δι' ἀζύμων ἔκθεσμος προσφορά, ἡ τοῦ καθαρτηρίου πυρὸς μάταιος δόξα, ἡ τοῦ ὑπερόφρυος καὶ ἀλαζόνος Πάπα ἐφ' ὅλης τῆς Ἐκκλησίας ἐξουσία, ἅτινα ἐν πολλῇ παρρησίᾳ καὶ δυνάμει λόγου ἤλεγξεν ὁ θεῖος Μᾶρκος, τὴν δὲ Ὀρθοδοξίαν τῆς Ἀνατολικῆς Ἐκκλησίας διετράνωσε, καὶ ὑπὲρ ἥλιον πᾶσι λάμπουσαν παρέστησε ταύτην.

Ἀλλ' ἐν τούτῳ συντελεσθείσης τῆς παρανομίας, Παπικῇ βίᾳ καὶ βασιλικῇ διαταγῇ, οὐ μὴν ἀλλὰ καὶ πειθοῖ οὐκ ἀγαθῇ, εἴξαντες ὑπέγραψαν τὸν ὅρον τῆς ψευδοῦς ἑνώσεως, ἢ κάλλιον εἰπεῖν, τὴν ὑπόταξιν τῆς ἁγίας Ὀρθοδόξου Ἐκκλησίας τῇ γεμούσῃ πλανῶν ὑπερφιάλῳ Λατινικῇ, πλὴν τοῦ ἱεροῦ Μάρκου, τοῦ καὶ ἐξάρχου πάντων, ὅστις ἐρρωμένως ἀνθέστηκε μηδὲν ὑφορώμενος, ὥστε ἀναφωνῆσαι τὸν Πάπαν Εὐγένιον, Οὐδὲν ἐποιήσαμεν. Εἶχεν ὁ θεῖος Μᾶρκος καί τινας ἐκ τῶν ἡμετέρων μιμητάς·

www.tezaurliturgic.ro

καὶ ὅλως ὑπέρ[illegible] ἡ ψευδὴς καὶ ματαία τῆς Φλωρεντίας συνέλευσις.

Περιαλγὴς καὶ κατώδυνος ἐπὶ τῇ συντελεσθείσῃ παρανομίᾳ, καὶ ἀπεμπολήσει τῆς ἁγιωτάτης ἡμῶν πίστεως ὁ θεῖος Μᾶρκος, ἐπανῆκε τῇ Βυζαντίδι· οἱ δὲ λαοὶ μαθόντες τοῦτο ἐξῆλθον ὑποδεχόμενοι αὐτὸν ἐν εὐφημίαις καὶ δάκρυσιν ὡς ἄλλον Ἀπόστολον καὶ καλλίνικον ἀριστέα· προέδραμε γὰρ ἡ φήμη τῶν ἐν τῇ Δύσει λαμπρῶν αὐτοῦ κατορθωμάτων ὑπὲρ τῆς ἁγίας ἡμῶν πίστεως, καὶ ἔχαιρον σφόδρα βλέποντες αὐτόν. Ὁ δὲ θεῖος Μᾶρκος, Ἀποστολικῷ ζήλῳ καὶ συντόνῳ σπουδῇ καὶ προθυμίᾳ πρὸς πλείονας ἀγῶνας ἀπεδύσατο· καὶ τοὺς μὲν κλονουμένους ἐστήριζε, τοὺς λειποψυχοῦντας ἐπανεκτᾶτο, τοὺς στερροὺς καὶ ἐνθέρμους ἐπὶ πλεῖον ἐθέρμαινε, τὰ πάντα τοῖς πᾶσι γενόμενος, ἵνα πάντας κερδήσῃ, καὶ τὴν Ἐκκλησίαν στηρίξῃ τῷ θεμελίῳ τῆς Ὀρθοδοξίας, ὑπὲρ ἧς τὴν ψυχὴν ἔθετο, πλειστάκις προκινδυνεύσας τῆς καλῆς ὁμολογίας. Μεγάλης δὲ καὶ ἱερᾶς συγκροτηθείσης Συνόδου ἐν τῇ Μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἐν αὐτῇ ἔτι ἅπαξ ὁ ἱερὸς Μᾶρκος σὺν τοῖς λοιποῖς Πατράσι καὶ ἀρχιερεῦσιν ἠσφαλίσατο τὴν τῶν θεοτυπώτων δογμάτων ἀκρίβειαν, τὴν ἐν Φλωρεντίᾳ ἀποκηρύξαντες ψευδῆ ἕνωσιν, καὶ αἰωνίῳ ἀναθέματι παραπέμψαντες τὰ κακῶς ἐκεῖσε πραχθέντα.

Καὶ οὕτως ὁσίως καὶ δικαίως καὶ Ἀποστολικῶς βιώσας, καὶ στῦλος καὶ ἑδραίωμα καὶ θέμεθλον ἄρραγὲς τῆς Ἐκκλησίας γεγονώς, νοσήματι κρατηθεὶς ἐπὶ δέκα καὶ τέσσαρας ἡμέρας, ἐκοιμήθη ἐν Κυρίῳ πεντηκοστὸν δεύτερον ἄγων ἐνιαυτόν, τῇ 23η Ἰουνίου μηνός, τοῦ σωτηρίου ἔτους 1444, καὶ προσετέθη τοῖς Ἀποστόλοις ὡς ἰσαπόστολος καὶ ἁγίοις Ἱεράρχαις καὶ Ὁμολογηταῖς ὡς μιμητὴς αὐτῶν καὶ ἰσοστάσιος. Τὸ δὲ ἱερὸν αὐτοῦ σκῆνος μετενεχθὲν ἐτάφη ἐν τῇ ἱερᾷ τῶν Μαγγάνων Μονῇ, πρὸς τὸ πρόθυρον τοῦ ναοῦ, ἐξ ἧς, γενομένης βραδύτερον ἀνακομιδῆς, μετεφέρθησαν τὰ σεπτὰ λείψανα ἐν τῇ ἐν Γαλατᾷ ἱερᾷ τοῦ Λαζάρου Μονῇ, ἐν ᾗ συνερχόμενοι κατ' ἐνιαυτὸν οἱ προσήκοντες αὐτῷ, ἐτέλουν τὴν ἁγίαν αὐτοῦ μνήμην κατὰ τὴν 19ην τοῦ μηνὸς Ἰανουαρίου. Μετὰ μικρὸν δέ, ὁ μαθητὴς αὐτοῦ καὶ τανῦν Πατριάρχης Γεννάδιος ὁ Σχολάριος, Συνοδικῇ ἁγίᾳ ἀποφάσει ὥρισεν ἵνα αὕτη τελῆται κατὰ ταύτην τὴν ἡμέραν ὑπὸ πάσης τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, ὑπὲρ ἧς ὁ μακάριος Ἱεράρχης ἱερώτατος Μᾶρκος τοσοῦτον ἠγωνίσατο, μυρίους ὑποστὰς πόνους καὶ κινδύνους, ὡς ἂν φυλάξῃ αὐτὴν ἐκ τῆς τῶν νοητῶν λύκων ὁρμῆς καὶ καταβρώσεως.

www.tezaurliturgic.ro

Ταῖς αὐτοῦ πρεσβείαις, Χριστὲ ὁ Θεός, φύλαξον ἡμᾶς ἐκ πάσης αἱρέσεως, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν. Ἀμήν.

*Ὠδὴ ζ'.* Οὐκ ἐλάτρευσαν.

Ῥώμην ἔνθεον, ἀναλαβὼν κατήσχυνας, Μᾶρκε τοῖς λόγοις σου, Ῥώμης τῆς πάλαι σοφέ, τὸν Πάπαν Εὐγένιον, κατεπαιρόμενον, νοΐ ἄφρονι, δογμάτων, τῶν τῆς πίστεως, καὶ Συνόδων τῶν ἁγίων.

Καινὴν ἔδειξας, καὶ ξένην καὶ ἀλλότριον, Μᾶρκε θεόσοφε, οἷα κακῶν ἀπαρχήν, προσθήκην τὴν ἄθεσμον, ἐν τῷ Συμβόλῳ τρανῶς, ὡς εἰσάγουσαν, δύο ἀρχὰς μακάριε, τῇ Τριάδι τῇ Ἁγίᾳ.

Ὁ θεόληπτος, Ἐφέσου μέγας πρόεδρος, Μᾶρκος ὁ πάνσοφος, δημηγορῶν ἐκβοᾷ· Λατίνων ἀπόγονοι, γνῶτε καὶ σύνετε· ὅτι ἄζυμα, προσφέρειν ἔθος βλάσφημον, καὶ ἀπόβλητον τυγχάνει.

*Θεοτοκίον.*

Σωματούμενος, ἐκ τῆς γαστρός σου Πάναγνε, ὑπὲρ κατάληψιν, ὁ Λόγος ὁ τοῦ Πατρός, διπλοῦς κόσμῳ πέφηνε, Θεὸς καὶ ἄνθρωπος, καὶ ἀνέπλασεν, Ἀδὰμ τὸν πρῶτον ἄνθρωπον, ἐκ τῆς πάλαι καταδίκης.

*Καταβασία*

Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας θεολογήσαντας, καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα, Θεὸν Λόγον ὑμνοῦμεν, εὐσεβῶς μελῳδοῦντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*Ὠδὴ η'.* Παῖδας εὐαγεῖς.

Γνῶσιν ἀληθῆ τῆς Ἐκκλησίας, ἐν χάριτι ἀναπτύσσων θείου Πνεύματος, οἷά περ ψευδώνυμον, γνῶσιν ἐθριάμβευσας, Λατίνων τὰ σοφίσματα κατεπεμβαίνοντα, δεινῶς τῶν θεοσόφων δογμάτων, τῶν πεφυλαγμένων, Χριστοῦ τῇ Ἐκκλησίᾳ.

Ἔστησας τῇ σῇ λαμπρᾷ ἐνστάσει, ὦ Μᾶρκε θεολογίας θεῖον ὄργανον, τρόπαιον περίβλεπτον, κατὰ πάσης ἔνδοξε, κενοτομίας χείρονος ἀπὸ τῆς Δύσεως, καὶ τὴν ἐν Φλωρεντίᾳ καθεῖλες, ζήλῳ εὐσεβείας ψευδῆ σύνοδον Πάτερ.

www.tezaurliturgic.ro

Ὤφθη[illegible] ἐν τῇ [illegible] ἐπ[illegible]κόν, ὡς μέγιστος ἀριστεὺς καὶ ἀκαθαίρετος, κλονουμένων στήριγμα, διεστώτων ἕνωσις, ἐγένου Μᾶρκε ἔνδοξε· ὡς γὰρ Ἀπόστολον, ἐδέξαντό σε Πάτερ τὰ πλήθη, καὶ Ὀρθοδοξίας, λαμπρότατον φωστῆρα.

*Θεοτοκίον.*

Ἄχραντε Παρθένε Θεοτόκε, ἡ μόνη μετὰ σαρκὸς Θεὸν κυήσασα, καὶ ἡμῶν τὸ φύραμα, τῷ ἀσπόρῳ τόκῳ σου, θεώσασα καὶ λύσασα ἐχθροῦ τὸ φρύαγμα, τῆς τούτου με ἀπάλλαξον βλάβης, καὶ τὴν ῥυπωθεῖσαν, ἐκκάθαρον ψυχήν μου.

*Καταβασία.*

Ἀσέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ'.* Ἅπας γηγενής.

Στῦλον ἀρραγῆ, καὶ μέγαν ἐκφάντορα καὶ προμαχῶνα στερρόν, ἔχουσα ἀγάλλεται, ἡ Ἐκκλησία σε ἡ Ὀρθόδοξος· ταύτην γὰρ κινδυνεύουσαν Μᾶρκε διέσωσας, τῇ Λατίνων, πλημμυρίδι Ἅγιε· διὰ τοῦτο γεραίρει τὴν μνήμην σου.

Ἴσχυσας σοφέ, δυνάμει καὶ χάριτι τοῦ θείου Πνεύματος, ἀληθῶς μονώτατος, ὁμολογίαν ὀρθὴν τῆς πίστεως, διαφυλάξαι ἄσυλον καὶ ἀπαράγραπτον, μὴ ἐκκλίνας, ἀπειλαῖς καὶ θλίψεσι· διὰ τοῦτο Χριστός σε ἐδόξασε.

Μνήμην ἱεράν, χορεύουσα ἄγει σοι σήμερον Ἅγιε, ἐν ᾠδαῖς καὶ ᾄσμασιν, ἡ Ἐκκλησία Χριστοῦ ἡ ἄμωμος, τὸ μέγα σου κατόρθωμα Μᾶρκε κηρύττουσα· ὅτι ταύτην, κινδυνεύουσαν ἔσωσας, Δυτικῆς ὀλεθρίου δουλώσεως.

Ὁ περιφανής, καὶ μέγας διδάσκαλος Μᾶρκε πολύσοφε, στόμα τὸ πυρίπνοον, Ὀρθοδοξίας ὁ νοῦς ὁ ἔνθεος, κενοτομίας χείρονος ἡμᾶς ἀπάλλαττε, καὶ ἐκ πάσης, χαλεπῆς αἱρέσεως, τοὺς σὲ θεῖον προστάτην πλουτήσαντας.

*Θεοτοκίον.*

www.tezaurliturgic.ro

Ὑψώσας ἡμῶν [illegible] τὸ ὀλίσθημα τῷ θείῳ τόκῳ σου, πρὸς τὴν πρώτην εὔκλειαν, πρὸς τὴν ἀρχαίαν μακαριότητα, καὶ οὐρανοῦ γεγόναμεν πολῖται Ἄχραντε· διὰ τοῦτο, χαῖρέ σοι κραυγάζομεν, ὡς ἡμῶν σωτηρίας ὑπόθεσις.

*Καταβασία.*

Θεοτόκε ἡ ἐλπίς, πάντων τῶν Χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς σέ.
» Ἐν νόμῳ σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοί· πᾶν
» ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ· διὸ πρωτότοκον
» Λόγον, Πατρὸς ἀνάρχου Υἱόν, πρωτοτοκούμενον Μητρί, ἀ-
» πειράνδρῳ μεγαλύνωμεν.

*Ἐξαποστειλάριον.* Γυναῖκες ἀκουτίσθητε.

Τῆς Ὀρθοδόξου πίστεως, τὸν μέγιστον διδάσκαλον, καὶ κραταιὸν καταπέλτην, κενοτομίας ἁπάσης, τὸν θεηγόρον ῥήτορα, τῶν θείων παραδόσεων, τὸν τῆς Ἐφέσου πρόεδρον, καὶ τῆς Ἑώας τὸ κλέος, Μᾶρκον αἰνέσωμεν πάντες.

*Θεοτοκίον.*

Τὸν Λόγον τὸν συνάναρχον, Πατρὶ καὶ θείῳ Πνεύματι, οὐσιωθέντα ἀτρέπτως, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, Παρθένε, ἀπεκύησας, καὶ βρέφος ἐγαλούχησας, καὶ μετὰ τόκον ἔμεινας, ἄφθορος ὡς πρὸ τόκου· ὢ παραδόξων πραγμάτων!

*Εἰς τοὺς Αἴνους.*

*Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.*

*Ἦχος α'.* Τῶν οὐρανίων ταγμάτων.

Τῇ θεοφθόγγῳ σου γλώσσῃ Μᾶρκε θεόσοφε, λαμπρῶς ἀνακηρύττων, τὸ θεόσδοτον κῦρος, δογμάτων τῶν ἁγίων ὡς ζηλωτής, τῶν σεπτῶν παραδόσεων, τὴν τῶν Λατίνων ἐλέγχεις παρατροπήν, ἐκ τῆς βάσεως τῆς πίστεως.

Τῇ τῶν σῶν λόγων σοφίᾳ οὐδόλως ἴσχυσαν, οἱ τῶν Λατίνων παῖδες, ἀντειπεῖν Ἱεράρχα· ἐν Πνεύματι γὰρ θείῳ δια-

www.tezaurliturgic.ro

τρανῶς ἀληθείας τὴν ἔλλαμψιν, ἀφώνους ἔδειξας τούτους ἐν ταῖς ὀρθαῖς, τῶν Πατέρων ἀναπτύξεσι.

Ὀρθοδοξίας τὸν στῦλον τὸν ἀρραγέστατον, τὸν τῆς Ἑώας μέγαν, καὶ λαμπρὸν ἀριστέα, τὸν πᾶσαν καθελόντα πλάνην δεινήν, τοῦ τῆς Ῥώμης ἐξάρχοντος, ὡς ἐκτραπέντος δογμάτων τῶν εὐσεβῶν, Μᾶρκον πάντες ἀνυμνήσωμεν.

Τῶν Ἀποστόλων τὸν ζῆλον Πάτερ κτησάμενος, πόνους πολλοὺς ὑπέστης, καὶ κινδύνους καὶ θλίψεις, ὡς ἂν τὴν Ἐκκλησίαν Μᾶρκε σοφέ, διασώσῃς ἀλώβητον, τῆς ἐκ τῆς Δύσεως λύμης αἱρετικῆς· διὰ τοῦτο εὐφημοῦμέν σε.

Δόξα. *Ἦχος πλ. α'.*

Ὅσιε Πάτερ, τῆς ἀληθοῦς διδασκαλίας ὄργανον γενόμενος, τὴν ἐν αὐτῇ χάριν σωτήριον, καὶ φῶς νοητόν, πᾶσιν ἐκκαλύπτεις· τῶν γὰρ θεοτυπώτων παραδόσεων, καὶ τῶν ἄνωθεν δεδογμένων, ὑφηγητὴς ὤφθης ἱερός, καὶ πρόμαχος ἀήττητος· καὶ Λατινικὴν θριαμβεύσας ἀπάτην, ὡς ψοχόλεθρον πλάνην στῦλος καὶ ἑδραίωμα, κατὰ Παῦλον, τῆς Ἐκκλησίας γέγονας. Ἀλλ' ὦ Μᾶρκε πανεύφημε, Ἱεραρχῶν ἀγλάϊσμα, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. *Θεοτοκίον.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία μεγάλη καὶ ἀπόλυσις.*

www.tezaurliturgic.ro



ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ' καὶ στ' ᾠδή.*

*Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ 13ῃ Νοεμβρίου.*

*Κοινωνικόν.* Εἰς μνημόσυνον αἰώνιον. . .

*Μεγαλυνάριον.*

Χαίροις τῆς Ἑῴας μέγας φωστήρ, καὶ τῆς Ἐκκλησίας, ὁ προστάτης καὶ ὁδηγός· χαίροις τῆς Λατίνων, κακοδοξίας πέλυξ, ὦ Μᾶρκε Ἱεράρχα, Ἐφέσου πρόεδρε.

*Δίστιχον.*

Μᾶρκε ἱερώτατε δέξαι τὸν ὕμνον
Ὅν σοι Γεράσιμος ἐξύφανεν ἤδη.

www.tezaurliturgic.ro

## ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

Εἰς τὸν ἐν Ἁγίοις Πατέρα ἡμῶν

**ΜΑΡΚΟΝ**

Ἀρχιεπίσκοπον Ἐφέσου τὸν Εὐγενικόν.

*Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου*

*Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς:*

*Ἦχος δ'.* Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς Ἱεράρχης εὐκλεὴς τοῦ Σωτῆρος, καὶ Ὀρθοδόξων ἀκατάσειστος στῦλος, ὑπὲρ ἡμῶν πρὸς Κύριον ἱκέτευε, Μᾶρκε ἱερώτατε, Ἐκκλησίας λαμπρότης, πάσης ἡμᾶς ῥύεσθαι, συμφορᾶς, καὶ ἀνάγκης, καὶ ἐπηρείας τῆς τῶν δυσμενῶν, τοὺς προσιόντας θερμῶς τῇ πρεσβείᾳ σου.

Δόξα. *Τὸ αὐτό.* Καὶ νῦν. *Θεοτοκίον.*

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ὁ Ν. ψαλμὸς καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.*

« Μᾶρκε ῥῦσαί με πάσης ἀνάγκης. *Γερασίμου* ».

*Ὠδὴ α'. Ἦχος πλ. δ'.* Ὑγρὰν διοδεύσας.

Μεγίστης εὐκλείας καὶ χαρμονῆς, Μᾶρκε θεηγόρε, ἀπολαύων ἐν οὐρανοῖς, τοὺς ἐπὶ τῆς γῆς σε ἀνυμνοῦντας, πειρατηρίων παντοίων ἀπάλλαξον.

www.tezaurliturgic.ro

Ἀ[illegible]ακτος βάσις τῶν εὐσεβῶν, Μᾶρκε ἀνεδείχθης, ὡς τοῦ Πνεύματος θησαυρός· διὸ με ἀσάλευτον συντήρει, τῇ τῶν Πατρῴων δογμάτων στερρότητι.

Ῥοαῖς τῶν ἁγίων σου πρεσβειῶν, παθῶν μου τὴν φλόγα, Πάτερ σβέσον ὡς συμπαθής, καὶ τὴν χερσωθεῖσάν μου καρδίαν, πρὸς μυστικὴν εὐκαρπίαν κατάρδευσον.

*Θεοτοκίον.*

Κυρίων τὸν Κύριον καὶ Θεόν, τεκοῦσα Παρθένε, ὑπὲρ φύσιν μετὰ σαρκός, τῆς κυριαρχίας μὲ τοῦ πλάνου, τῇ σῇ δυνάμει ἀπάλλαξον δέομαι.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Εὐσεβείας ἐκφάντωρ, θεοειδὴς πέφηνας· ὅθεν εὐσεβεῖν με ἐν πᾶσι, λόγοις καὶ πράξεσι, Μᾶρκε δυνάμωσον, καὶ θεοφρόνως δουλεύειν, Πάτερ με ἀξίωσον, τῷ Παντοκράτορι.

Πιεζόμενον Πάτερ, ταῖς χαλεπαῖς πνεύσεσι, τῶν ἐπηρειῶν τοῦ Βελίαρ, καὶ ἐπιθέσεων, στήριξον δέομαι, ὑπομονῆς με τῇ πέτρᾳ, καὶ πταισμάτων αἴτει μοι, Μᾶρκε τὴν ἄφεσιν.

Ὑπὲρ πάντων δυσώπει, τὸν ἀγαθὸν Κύριον, τῶν εἰλικρινῶς προστρεχόντων, τῇ προστασίᾳ σου, Μᾶρκε θεόσοφε, ὡς ἂν ἀτάραχον βίον, Πάτερ διανύωμεν, καὶ ἀκατάγνωστον.

*Θεοτοκίον.*

Ὁ περίβλεπτος θρόνος, καὶ φλογερὸς Ἄχραντε, τοῦ Παμβασιλέως Κυρίου, καὶ Παντοκράτορος, τὸν νοῦν μου ὕψωσον, ἐξ ἐννοιῶν χαμαιζήλων, πρὸς ὑψώσεις Δέσποινα, βίου λαμπρότητος.

Ἰάσωσον Ἀρχιεράρχα Κυρίου Μᾶρκε θεόφρον, ἱκεσίαις ταῖς ἱεραῖς σου πρὸς Κύριον, τοὺς ἀδιστάκτως προστρέχοντας τῇ σῇ σκέπῃ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

www.tezaurliturgic.ro

*Αἴτησις καὶ τὸ Κάθισμα.*

*Ἦχος β'. Πρεσβεία θερμή.*

Προστάτης θερμός, τῶν Ὀρθοδόξων πέφηνας, καὶ στόμα σοφόν, δογμάτων τῶν τῆς πίστεως, Μᾶρκε Ἐφέσου πρόεδρε, ἐν οἷς πάντοτε στήριξον Ἅγιε, ἡμῶν τὰς καρδίας ἀκλινῶς, ὡς ἂν θείας δόξης ἐπιτύχωμεν.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Υπερήφανον δράκοντα, καθ' ἡμῶν δολίως μηχανευόμενον, κατασύντριψον δεόμεθα, τῇ ποιμαντικῇ σου ῥάβδῳ Ἅγιε.

Μὴ ἐλλείπῃς πρὸς Κύριον, Πάτερ ἀναφέρειν δεήσεις πάντοτε, ὑπὲρ πάντων τῶν τιμώντων σε, ὡς ἱερομύστην ἐνθεώτατον.

Ἐν κινδύνοις βοήθειαν, καὶ παραμυθίαν ἐν περιστάσεσι, Μᾶρκε δίδου τοῖς ἐκ πίστεως, ἐπιβωομένοις σου τὸ ὄνομα.

*Θεοτοκίον.*

Πειρασμοῖς συνθλιβόμενος, ἐξ ἁμαρτιῶν πληθύος ὁ δείλαιος, ἐκ καρδίας ἀνακράζω σοι· Σῶσόν με Παρθένε τῇ σῇ χάριτι.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ἄνωθεν ἡμᾶς, ἐποπτεύεις Πάτερ ἵλεως, ἐκλυτρούμενος δεινῶν παντοδαπῶν, τοὺς προστρέχοντας τῇ θείᾳ ἀντιλήψει σου.

Σκέπη ἀσφαλής, γενοῦ Μᾶρκε ἱερώτατε, καὶ προπύργιον ἰσχύος ἀρραγοῦς, τοῖς ἐκ πόθου προσιοῦσι τῇ πρεσβείᾳ σου.

Ἴσχυνας σοφῶς, τῶν αἱρέσεων τὸ φρύαγμα, ἐξ ὧν Μᾶρκε ἡμᾶς τήρει ἀσινεῖς, ὡς τῆς πίστεως θερμότατος ὑπέρμαχος.

*Θεοτοκίον.*

Σῶμα καὶ ψυχήν, ἁμαρτίαις κατεμόλυνα, ἐξ ὧν πλῦνόν με καὶ κάθαρον Ἁγνή, ταῖς ῥανίσι τῆς πλουσίας σου χρηστότητος.

www.tezaurliturgic.ro

*Ὠδὴ ϛ΄. Τὴν δέησιν.*

Ἀκοίμητος, βοηθὸς καὶ πρόμαχος, Ὀρθοδόξων ἀναδέδειξαι Πάτερ, ὡς ὑποφήτης τῶν θείων δογμάτων· ὅθεν κατεύνασον Μᾶρκε δεόμεθα, τὴν καθ' ἡμῶν τοῦ δυσμενοῦς, μαινομένην κακίαν ὀλέθριον.

Νεκρώσας μου, τῆς σαρκὸς τὸ φρόνημα, ζωηφόροις σου πρεσβείαις παμμάκαρ, τὴν νεκρωθεῖσαν ψυχήν μου κακίᾳ, καὶ συνηθείᾳ παθῶν ἐξανάστησον, πρὸς ἐπιδόσεις ἀγαθάς, ἐναρέτου ζωῆς Μᾶρκε ἔνδοξε.

Ἁπάσης μέν, ἀρετῆς ἐξέκλινα, εἰς βυθὸν δὲ κατηνέχθην κακίας, τῇ πονηρᾷ ἁμαρτίᾳ δουλεύων, καὶ τοῦ Χριστοῦ παροργίζων τὸ εὔσπλαγχνον, ἀλλὰ σὺ Μᾶρκε ἱερέ, τὴν ζωήν μου βελτίωσον δέομαι.

*Θεοτοκίον.*

Γεννήσασα, τοῦ παντὸς τὸν αἴτιον, ὑπὲρ λόγον καὶ αἰτίαν Παρθένε, τὰς παραλόγους ὁρμὰς τῶν παθῶν μου, τῷ θείῳ νόμῳ ὑπόταξον· δέομαι, καὶ δίδου μοι καθαρτικόν, μετανοίας Πανάχραντε δάκρυον.

Ἱάσωσον Ἀρχιεράρχα Κυρίου Μᾶρκε θεόφρον, ἱκεσίαις ταῖς ἱεραῖς σου πρὸς Κύριον, τοὺς ἀδιστάκτως προστρέχοντας τῇ σῇ σκέπῃ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων, τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

*Αἴτησις καὶ τὸ Κοντάκιον.*

*Ἦχος β΄.* Προστασία τῶν Χριστιανῶν.

Ὡς προστάτης τῶν Ὀρθοδόξων καὶ πρόβολος, καὶ μεσίτης πρὸς τὸν Ποιητὴν ἀξιόθεος, μὴ ἐλλίπῃς ὑπὲρ ἡμῶν πρεσβεύειν ἐκτενῶς, ἵνα ρυσθῶμεν πάσης ὀργῆς, καὶ τῶν ἐν βίῳ πειρασμῶν, οἱ πιστῶς ἐκβοῶντές σοι· Σκέπε ἀεὶ ἐν βίῳ, παντοίων πειρατηρίων, Μᾶρκε Ἐφέσου ὁ ποιμήν, εὐσεβούντων τὰ πληρώματα.

*Προκείμενον.*

www.tezaurliturgic.ro

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

*Στίχ.* Καυχήσονται Ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

## ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν, τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί, ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται· καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

**Δόξα.** Ταῖς τοῦ Ἱεράρχου. . .
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου. . .

*Προσόμοιον.*

*Ἦχος πλ. β'.* Ὅλην ἀποθέμενοι.
*Στίχ.* Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. . .

Χάριτος τοῦ Πνεύματος, φωτοειδέστατον σκεῦος, Μᾶρκε ἱερώτατε, Ὀρθοδόξων στήριγμα καὶ διάσωσμα, πειρασμῶν κόπασον, τὰς ἐπαναστάσεις, καὶ τῶν θλίψεων τὸν κλύδωνα, πράϋνον Ἅγιε, καθ' ἡμῶν πικρῶς ἀγριαίνοντα, εἰρήνην ἡμῖν ἄνωθεν, Πάτερ καὶ γαλήνην δωρούμενος, καὶ τῶν ἐναντίων, τὴν ἄσχετον κατάσβεσον ὁρμήν, τὴν τυραννοοῦσαν καὶ θλίβουσαν, ἡμῶν τὴν διάνοιαν.

www.tezaurliturgic.ro

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. . .

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Καθαιρέτης ἐδείχθης, τῶν ὀθνείων δογμάτων Μᾶρκε μακάριε· καὶ νῦν τοὺς τῆς Πατρῴας, τολμῶντας ἐπεμβαίνειν, εὐσεβείας κατάβαλε, ὁμολογίᾳ ἡμᾶς, στηρίζων ὀρθοδόξῳ.

Ἡ σὴ ἔνθεος γλῶσσα, τοὺς τῆς Δύσεως γόνους Μᾶρκε κατέπληξε· καὶ νῦν τῆς εὐσπλαγχνίας, τὸ ἔλεος τῆς θείας, κινησάτω δεόμεθα, ἐφ' ἡμᾶς Πάτερ σοφέ, τοὺς ἐξηπορημένους.

Σωτηρίας πρὸς τρίβον, ἐξ ὁδοῦ ἀπωλείας ἡμᾶς ἐπίστρεψον, καὶ σθένος δίδου Πάτερ, ἡμῖν κατὰ τοῦ πλάνου, τοῦ ὡς λέοντος πάντοτε, ὠρυομένου δεινῶς, κατὰ τῶν ἱκετῶν σου.

*Θεοτοκίον.*

Γεωργεῖν με σωφρόνως, τὰ οὐράνια Κόρη δίδου νοήματα, καὶ φεύγειν ὁλοτρόπως, τῶν ἐννοιῶν τῶν φαύλων, μετοχὴν τὴν ὀλέθριον, ἵνα Χριστῷ τῷ Θεῷ ,δουλεύσω θεοφρόνως.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἐν τῷ ναῷ σου, Πάτερ προστρέχομεν πίστει, ἵνα λάβωμεν ψυχῶν τε καὶ σωμάτων, ἴασιν καὶ χάριν, τῇ σῇ πρεσβείᾳ Μᾶρκε.

Ῥῶσιν σωμάτων, ῥῶσιν ψυχῶν καὶ εἰρήνην, Μᾶρκε πάνσοφε παρέχει ἡ Εἰκών σου, τοῖς προσερχομένοις, αὐτῇ μετ' εὐλαβείας.

Ἀσθενημάτων, καὶ πάσης ἄλλης ἀνάγκης, ῥύου πάντοτε τοὺς σὲ παρακαλοῦντας. Μᾶρκε θεηγόρε, Ὀρθοδοξίας σάλπιγξ.

*Θεοτοκίον.*

Σκέπασον Κόρη, ἐκ τῶν βελῶν τοῦ Βελίαρ, τῇ τῆς σκέπης σου θείᾳ ἐπισκιάσει, τοὺς ὑμνολογοῦντας, τὴν σὴν μεγαλωσύνην.

Ὠδὴ θ΄. Κυρίως θεοτόκιον.

Ἰλύος ἁμαρτίας, καὶ τῶν ἐν τῷ βίῳ, πλημμελημάτων ἡμᾶς ἐλευθέρωσον, ὡς ἱερὸς Ἱεράρχης Μᾶρκε μακάριε.

www.tezaurliturgic.ro

Μνημόνευε ἀπαύστως, Μᾶρκε θεηγόρε, τῶν προσιόντων θερμῶς τῇ σῇ χάριτι, ἵνα σωφρόνως ἐν κόσμῳ πολιτευσώμεθα.

Ὀδύνης συνεχούσης, Πάτερ τὴν ψυχήν μου, τὴν χαλεπὴν συνοχὴν διασκέδασον, καὶ σεσωσμένον με Μᾶρκε Χριστῷ προσάγαγε.

*Θεοτοκίον.*

Ὑμνῶ σε Παναγία· τῇ γὰρ χάριτί σου, πρὸς μετανοίας ὁδὸν κατευθύνομαι, ἀλλ' ἕως τέλους ζωῆς μου Κόρη βοήθει μοι.

*Τό, Ἄξιον ἐστι καὶ τὰ μεγαλυνάρια.*

Τῆς Ὀρθοδοξίας σάλπιγξ λαμπρά, ὤφθης Ἱεράρχα, καὶ ἐκφάντωρ θεοειδής, Μᾶρκε θεηγόρε, θεράπον τῆς Τριάδος, καὶ πρόεδρε Ἐφέσου πανευκλέεστατε.

Τοῦ Ἁγίου Πνεύματος εἰληφώς, ὡς καθάρας Πάτερ, τὴν ψυχήν σου ταῖς ἀρεταῖς, τὴν ἔλλαμψιν, Μᾶρκε, τῶν εὐσεβῶν δογμάτων, ὑπέρμαχος ἐδείχθης ἀκαταγώνιστος.

Στόμα σου ἀνοίξας τὸ ἱερόν, ἐν τῇ Φλωρεντίᾳ, διετράνωσας εὐθαρσῶς, τῆς ἐν τῇ Ἑώᾳ, ἁγίας Ἐκκλησίας, τὴν χάριν καὶ τὸν πλοῦτον καὶ τὴν ἀκρίβειαν.

Χαίροις εὐσεβείας ῥήτωρ λαμπρός, καὶ τῆς Ἐκκλησίας, θεοστήρικτος ἑδρασμός· χαίροις τῶν ἐν Δύσει, αἱρέσεων τὸ ξίφος, ὦ Μᾶρκε θεηγόρε, φωστὴρ οὐράνιε.

Χάριτι τῇ θείᾳ καταυγασθείς, στῦλος Ἐκκλησίας, καὶ ἑδραίωμα ἀρραγές, Μᾶρκε ἀνεδείχθης· διὸ στήριξον πάντας, τῇ Ὀρθοδόξῳ πίστει, τοὺς σὲ γεραίροντας.

Ἔχων παρρησίαν πρὸς τὸν Χριστόν, Ἱεράρχα Μᾶρκε, καθικέτευε ἐκτενῶς, πάσης ἡμᾶς βλάβης, καὶ ἀναγκῶν καὶ πόνων, καὶ χαλεπῶν σκανδάλων, λυτροῦσθαι πάντοτε.

Πᾶσαι τῶν Ἀγγέλων. . .

Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ ἑξῆς :

www.tezaurliturgic.ro

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Μᾶρκε Ὀρθοδόξων καλλονή, καὶ τῆς Παναγίας Τριάδος, θεράπον μέγιστε, ὑπὲρ ἧς ἠγώνισαι, στερρῷ φρονήματι, καθικέτευε πάντοτε, ὑπὲρ τῶν ἐν πίστει, προστρεχόντων Ἅγιε, τῇ προστασίᾳ σου, παύων πειρασμῶν τὰς ἐφόδους, καὶ εἰρήνην Πάτερ παρέχων, καὶ πταισμάτων λύσιν τοῖς ὑμνοῦσί σε.

Δέσποινα πρόσδεξαι. . .

Τὴν πᾶσαν ἐλπίδα μου. . .

*Δίστιχον.*

Γεράσιμος Μᾶρκε σοι δεήσεις πλέκει
Ἀνθ' ὧν δίδου ἔλεος πᾶσι καὶ χάριν.

ΕΞΕΤΥΠΩΘΗ ΕΙΣ ΤΑ ΤΥΠΟΓΡΑΦΕΙΑ Α. ΦΙΛΟΠΟΥΛΟΥ—Κ. ΑΛΕΞΙΑ Ο.Ε.
Ὁδὸς Εὐήνου 9 — Τηλ. 773.913
ΚΑΛΛΙΤ. ΕΠΙΒΛΕΨΙΣ ΙΩΑΝΝΟΥ ΙΣ. ΑΡΓΕΝΤΟΥ

*Ἀπαγορεύεται ἡ ἐν μέρει ἢ ἐν ὅλῳ ἀνατύπωσις τοῦ παρόντος ἄνευ τῆς ἀδείας τοῦ ἐκδότου.*

www.tezaurliturgic.ro

